# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ἠθικῶν Νικομαχείων τὸ Α.

## Κεφάλαιον α.

ΠΑΣΑ τέχνη καὶ πᾶσα μέθοδος, ὁμοίως B δὲ πρᾶξίς τε καὶ προαίρεσις, ἀγαθοῦ τινὸς ἐφίεσθαι δοκεῖ· διὸ καλῶς ἀπεφήναντο τἀγαθὸν, οὗ πάντα ἐφίεται. διαφορὰ δέ τις φαίνεται τῶν τελῶν· τὰ μὲν γάρ εἰσιν ἐνέργειαι· τὰ δὲ παρ' αὐτὰς, ἔργα τινά. ὧν δ' εἰσὶ τέλη τινὰ παρὰ τὰς C πράξεις, ἐν τούτοις βελτίω πέφυκε τῶν ἐνεργειῶν τὰ ἔργα. πολλῶν δὲ πράξεων οὐσῶν, καὶ τεχνῶν, καὶ ἐπιστημῶν, πολλὰ γίνεται καὶ τὰ τέλη· ἰατρικῆς μὲν γὰρ, ὑγίεια· ναυπηγικῆς δὲ πλοῖον· στρατηγικῆς δὲ, νίκη· οἰκονομικῆς δὲ, πλοῦτος. ὅσαι δ' εἰσὶ τῶν τοιούτων ὑπὸ μίαν τινὰ δύναμιν, καθάπερ ὑπὸ τὴν ἱππικὴν, χαλινοποιητικὴ, καὶ ὅσαι ἄλλαι τῶν ἱππικῶν ὀργάνων εἰσίν· αὕτη δὲ καὶ πᾶσα πολεμικὴ πρᾶξις ὑπὸ D τὴν στρατηγικὴν· τὸν αὐτὸν δὲ τρόπον ἄλλαι ὑφ' ἑτέρας) ἐν ἁπάσαις δὲ τὰ τῶν ἀρχιτεκτονικῶν τέλη, πάντων ἐστὶν αἱρετώτερα τῶν ὑφ' αὐτά· τούτων γὰρ χάριν κἀκεῖνα διώκεται. διαφέρει δ' οὐδὲν τὰς ἐνεργείας αὐτὰς εἶναι τὰ τέλη τῶν πράξεων, ἢ παρὰ ταύτας ἄλλο τι καθάπερ ἐπὶ τῶν λεχθεισῶν ἐπιστημῶν. Εἰ δή τι τέλος ἐστὶ τῶν πρακτῶν, ὃ δι' αὐτὸ βουλόμεθα, E τὰ ἄλλα δὲ διὰ τοῦτο, καὶ μὴ πάντα δι' ἕτερον αἱρούμεθα· (πρόεισι γὰρ οὕτω γ' εἰς ἄπειρον, ὥστ' εἶναι κενὴν καὶ ματαίαν τὴν ὄρεξιν) δῆλον ὡς τοῦτ' ἂν εἴη τἀγαθὸν, καὶ τὸ ἄριστον. ἆρ' οὖν καὶ πρὸς τὸν βίον ἡ γνῶσις αὐτοῦ μεγάλην ἔχει ῥοπήν; καὶ καθάπερ τοξόται, σκοπὸν ἔχοντες, μᾶλλον ἂν τυγχάνοιμεν τοῦ δέοντος.

# ARISTOTELIS MORALIVM NIcomachiorum LIBER PRIMVS.

## CAPVT I.

OMNIS ars, omníſque dicendi via, actio item, atque electio bonum quoddam expetere videtur. quapropter bene id eſſe bonum ipſum aſſeruerunt, quod omnia expetunt. Finium verò quædam videtur eſſe differentia. alij enim operationes, alij præter has opera quædam ſunt. At quorum præter actiones fines aliqui ſunt: in his opera ipſa operationibus cenſentur præſtantiora. Cùm autem multæ & actiones & ſcientiæ & artes ſint, multi etiam fines euadant, neceſſe eſt. medicinæ quidem, ſanitas: nauium extructricis, nauis: militaris, victoria: domeſticæ ac familiaris, diuitiæ ipſæ. Quæcunque verò huiuſmodi ſunt, ſub vnam aliquam facultatem & potentiam reducuntur: quemadmodum ſub equeſtrem frenorum effectrix, aliæque omnes quæ equeſtria inſtrumẽta conficiũt: atque hęc, omníſque demum actio bellica ſub militarẽ, atq; eodem modo ſub alias aliç. atq; in iis omnibus fines earum quæ architectonicæ habẽtur, magis quàm reliqui omnes aliarum quæ ſubiacent, expetendi ſunt: nam illos quoque horum cauſa ſectamur. Neque tamen intereſt quicquam ſiue operationes ipſæ fines actionũ ſint, ſiue præter ipſas aliud quippiã, ſicut in ante dictis ſcientiis. Si igitur agendarum rerum finis aliquis eſt, quem propter ipſum, & propter quem alia volumus, neque omnia ob aliud eligimus (in infinitum enim ita fieret progreſſus, vanúſque & inanis appetitus noſter eſſet) perſpicuum eſt eum ſummum bonum atque optimum futurum. Nónne igitur magnum ad vitã cognitio ipſius momentũ affert? nã ſi quemadmodũ ſagittarij ſcopũ habeamus, magis bonũ & honeſtũ aſſequi poſſemus.